Βυζάντιον. Πέρινθος

Σεβῆρος.

«… προὔπεμψε δὲ (ὁ Νίγρος) καὶ στρατιὰν προκαταληψομένην τὸ Βυζάντιον, πόλιν τὴν ἐπὶ Θρᾴκης μεγίστην τότε καὶ εὐδαίμονα, πλήθει τε ἀνδρῶν καὶ χρημάτων ἀκμάζουσαν. κειμένη γὰρ ἐπὶ τῷ στενωτάτῳ τῆς Προποντίδος πορθμῷ προσόδοις τοῖς ἀπὸ θαλάττης τελῶν τε καὶ ἁλιείας μεγάλως ὠφελεῖτο· γῆν δὲ πολλὴν καὶ εὐδαίμονα κεκτημένη, ἐξ ἑκατέρων τῶν στοιχείων μέγιστα ἐκέρδαινεν· ὅθεν αὐτὴν οὖσαν ὀχυρωτάτην ὁ Νίγρος προκαταλαβεῖν ἠθέλησεν, καὶ μάλιστα ἵνα κωλύειν δύναιτο τὴν ἀπὸ τῆς Εὐρώπης ἐς τὴν Ἀσίαν κατὰ τὸν πορθμὸν διάβασιν. τείχει δὲ γενναίῳ τε καὶ μεγίστῳ ἡ πόλις τείχει, συνεστηκότι μυλίτῃ λίθῳ, ἐς τετράγωνον εἰργασμένῳ· τοσαύτῃ δὲ συναφείᾳ καὶ κολλήσει, ὡς μηδένα οἴεσθαι τὸ ἔργον σύνθετον ἑνὸς δὲ λίθου πεποιῆσθαι· ἔτι γοῦν ἡ νῦν τὰ ἐρείπια αὐτοῦ ἐρριμμένα καὶ λείψανα ἰδόντι, θαυμάζειν ἔστι ἡ τὴν τέχνην τῶν τὴν ἀρχὴν κατασκευασάντων καὶ τὴν ἀλκὴν τῶν ὕστερον καθελόντων. — — —

β´. Ὁ δὲ Σεβῆρος ὡς εἶχε μάλιστα σὺν τῇ στρατιᾷ ἠπείγετο, μηδὲν ῥᾳθυμίᾳ μηδ᾽ ἀναπαύλῃ νέμων· μαθὼν δὲ τὸ Βυζάντιον προκατειλημμένον ὑπ᾽ (?) … ὀχυρώτατα.

Ἡρωδιανοῦ ἱστοριῶν Βιβλ. 3α Κεφ. 71 ἐκδ. Δίνα (?)

140α

140β

Βυζάντιον. Πέρινθος.

Σεβῆρος. Αντωνῖνες.

τετειχισμένον επι Κύζικον τον στρατον εκέλευσε διαβαίνειν.

σ. 81. .. ἔπεμψε δε (ο Σεβῆρος) και τους το Βυζάντιον πολιορκήσοντας· ἔμενε γαρ ἔτι κεκλεισμένον, των στρατηγων του Νίγρου εκεῖσε καταφυγόντων. ὕστερον ἑάλω λιμῷ· κατεσκάφη δε η πόλις καθεσκάφη, η θεάτρων δε και λουτρων παντός τε κόσμου και τιμης αφαιρεθεν το Βυζάντιον κώμη δουλεύειν Περινθίοις δῶρον ἐδόθη, ὥσπερ και Αντιόχεια Λαοδικεῦσι.

104 .. ἤκουσε δε τον μεν Αντωνῖνα επι τῷ Βυζαντίῳ ιδρῦσαι στρατόπεδον. τον δε Νίγερα εν Καλχηδόνι της Βιθυνίας